Οἰκουμενικὸν Πατριαρχεῖον | Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις Αὐστρίας καὶ Ἐξαρχία Οὐγγαρίας καὶ Μεσευρώπης

Heilige Metropolis von Austria und Exarchat von Ungarn und Mitteleuropa

Fleischmarkt 13, A-1010 Wien
Tel.: +43 1 533 38 89 – Fax: +43 1 533 38 89 17 – E-Mail: kirche@metropolisvonaustria.at
Homepage: http://metropolisvonaustria.at

# Ἐπὶ τὰς Πηγάς

**Τετάρτη, 6 Αὐγούστου 2025**

**Ἀνάμνησις τῆς Ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ**

## ΟΡΘΡΟΣ

### Καθίσματα

**Ἦχος δ᾽**

Τὴν τῶν βροτῶν ἐναλλαγήν, τὴν μετὰ δόξης Σου Σωτήρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ, τῆς Σῆς ἐλεύσεως δεικνύς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης· Ἠλίας καὶ Μωσῆς συνελάλουν Σοι· τοὺς τρεῖς τῶν Μαθητῶν συνεκάλεσας, οἳ κατιδόντες, Δέσποτα, τὴν δόξαν Σου, τῇ ἀστραπῇ Σου ἐξέστησαν· ὁ τότε τούτοις, τὸ φῶς Σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Ἐπὶ τὸ ὄρος τὸ Θαβώρ, μετεμορφώθης, Ἰησοῦ, καὶ νεφέλη φωτεινή, ἐφηπλωμένη ὡς σκηνή, τοὺς Ἀποστόλους τῆς δόξης Σου κατεκάλυψεν· ὅθεν καὶ εἰς γῆν ἐναπέβλεπον, μὴ φέροντες ὁρᾶν τὴν λαμπρότητα, τῆς ἀπροσίτου δόξης τοῦ προσώπου Σου, ἄναρχε Σῶτερ Χριστὲ ὁ Θεός· ὁ τότε τούτοις, τὸ φῶς Σου λάμψας, φώτισον τὰς ψυχάς ἡμῶν.

# Zu den Quellen

**Mittwoch, 6. August 2025**

**Gedächtnis der Heiligen Verkärung unseres Herrn und Erlösers Jesus Christus**

## ORTHROS

### Kathismata

**Vierter Ton**

Die Wandlung der Sterblichen durch deine Herrlichkeit, Erlöser, in deinem zweiten und ehrfurchtgebietenden Kommen, zeigtest du als du auf dem Berge Tabor verklärt wurdest. Elias und Moses sprachen mit dir und du riefst die drei Jünger zusammen, die deine Herrlichkeit sahen, und sie staunten ob deines Glanzes. Der du einst ihnen dein Licht erstrahlen ließest, erleuchte unsere Seelen.

Auf dem Berge Tabor wurdest du verklärt, Jesus, und eine leuchtende Wolke senkte sich wie ein Zelt und bedeckte die Apostel deiner Herrlichkeit. So vielen sie auch auf Erden, da sie es nicht vermochten, deinen Glanz der unzugänglichen Herrlichkeit deines Antlitzes zu schauen, anfangloser Retter Christus, Gott.Der du einst ihnen dein Licht erstrahlen ließest, erleuchte unsere Seelen.

## Ἐξαποστειλάριον

**Ἦχος γ′**

Φῶς ἀναλλοίωτον Λόγε, φωτὸς Πατρὸς ἀγεννήτου, ἐν τῷ φανέντι φωτί Σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τόν Πατέρα, φῶς καὶ τὸ Πνεῦμα, φωταγωγοῦν πᾶσαν Κτίσιν.

## Exapostilarion

**Dritter Ton**

Unwandelbares Licht, Logos, aus dem ungeborenen Licht des Vaters, in deinen erstrahltem Lichte haben wir heute auf dem Tabor das Licht gesehen, den Vater, Licht auch den Geist, sie erleuchten die ganze Schöpfung.

## Στιχηρά

**Ἦχος δ᾽**

Πρὸ τοῦ τιμίου Σταυροῦ Σου καὶ τοῦ πάθους, λαβὼν οὓς προέκρινας τῶν Ἱερῶν Μαθητῶν, πρὸς τὸ Θαβώριον Δέσποτα, ἀνῆλθες ὄρος, δεῖξαι θελήσας τούτοις τὴν δόξαν Σου, οἳ καὶ κατιδόντες Σε μεταμορφούμενον, καὶ ὑπὲρ ἥλιον λάμψαντα, πρηνεῖς πεσόντες, τὴν δυναστείαν Σου κατεπλάγησαν, ἀναβοῶντες· Σὺ τὸ ἄχρονον, φῶς ὑπάρχεις Χριστὲ καὶ ἀπαύγασμα, τοῦ Πατρός, εἰ καὶ θέλων, σάρξ ὡράθης ἀναλλοίωτος.

Ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς Λόγος ὁ φῶς ὡς ἱμάτιον περιβαλλόμενος, μεταμορφούμενος ἔμπροσθεν, τῶν μαθητῶν Σου, ὑπὲρ τὸν ἥλιον Λόγε ἔλαμψας, Μωσῆς καὶ Ἠλίας δέ, Σοὶ παρειστήκεισαν, νεκρῶν καὶ ζώντων Σε Κύριον, δηλοποιοῦντες, καὶ Σοῦ δοξάζοντες τὴν ἀπόῤῥητον, οἰκονομίαν καὶ τὸ ἔλεος, καὶ τὴν πολλὴν συγκατάβασιν, δι᾽ ἧς ἔσωσας κόσμον, ἁμαρτίαις ἀπολλύμενον.

## Stichera

**Vierter Ton**

Vor deinem kostbaren Kreuz und Leiden, nahmst du jene, die du aus den heiligen Jüngern erwähltest, und bestiegst den Berg Tabor, Gebieter, und wolltest ihnen deine Herrlichkeit zeigen. Als sie dich sahen, verklärt und heller als die Sonne strahlend, fielen sie zu Boden und riefen, erschrocken vor deiner Macht, und riefen: Du bist das Licht ohne Zeit, Christus, und Abglanz des Vaters, obgleich es dir wohlgefiel, unverändert Fleisch anzunehmen.

Du bist Gott, Logos, vor aller Ewigkeit. Mit Licht wie mit einem Kleid hast du dich bekleidet als du verklärt wurdest vor deinen Jüngern und strahltest heller als die Sonne, Logos. Moses und Elias aber traten dir zur Seite und offenbarten dich als den Herrn über die Toten und Lebenden und priesen dein unaussprechliches Heilswirken, dein Erbarmen und deine Barmherzigkeit, durch die du die Welt gerettet hast, die in Sünden ertrinkt.

## Δοξαστικόν

**Ἦχος πλ. δ′**

Παρέλαβεν ὁ Χριστός, τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, εἰς ὄρος ὑψηλὸν κατ᾽ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον Αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια Αὐτοῦ, ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας μετ᾽ Αὐτοῦ συλλαλοῦντες, καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, Αὐτοῦ ἀκούετε.

## Doxastikon

**Achter Ton**

Christus nahm Petrus, Jakobus und Johannes mit auf einen hohen Berg und wurde vor ihnen verklärt und sein Antlitz leuchtete wie die Sonne, seine Kleider wurden weiß wie das Licht. Und es warden gesehen Moses und Elias, die mit ihm sprachen, und eine leuchtende Wolke überschattete sie. Und siehe, eine Stimme sprach aus der Wolke: Dieser ist mein geliebter Sohn, an dem ich Wohlgefallen gefunden habe; auf ihn sollt ihr hören.

## ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
## Ἀπολυτίκιον τῆς Ἑορτῆς

**Ἦχος βαρὺς**

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς Σου τὴν δόξαν Σου, καθὼς ἠδυναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς Σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα Σοι.

## GÖTTLICHE LITURGIE
## Apolytikion des Festes

**Siebter Ton**

Verklärt wurdest du auf dem Berge, Christus, Gott, und hast deinen Jüngern deine Herrlichkeit offenbart, soweit sie es zu ertragen vermochten. Lass auch über uns Sündern dein ewiges Licht leuchten, auf die Fürsprache der Gottesgebärerin, du Spender des Lichts, Ehre sei dir!

## Κοντάκιον

**Ἦχος βαρὺς**

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί Σου τὴν δόξαν Σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν Σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι Σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

## Kontakion

**Siebter Ton**

Auf dem Berg wurdest du verklärt und deine Jünger schauten deine Herrlickeit so viel sie es vermochten, auf dass sie dich gekreuzigt sehen, sie das Leiden aus freiem Willen verstehen und der Welt verkünden, dass du wahrhaftig der Abglanz des Vaters bist.

## Ἀπόστολος

**Προκείμενον. Ἦχος δ᾽**

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
*Στίχ*. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

## Apostellesung

**Prokeimenon. Vierter Ton**

Wie groß sind deine Werke, Herr! Alles hast du in Weisheit geschaffen.
*Vers*: Preise, meine Seele, den Herrn. Herr, mein Gott, über alle Maßen groß bist du!

## Καθολικῆς Β′ Ἐπιστολῆς Πέτρου (α᾽:10-19)

Ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε· οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι,ἐφ᾽ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν

## Aus dem Zweiten Katholischen Petrusbrief (1,10-19)

Brüder, bemüht euch noch mehr darum, dass eure Berufung und Erwählung Bestand hat! Wenn ihr das tut, werdet ihr niemals scheitern. So wird euch in reichem Maß gewährt, in das ewige Reich unseres Herrn und Retters Jesus Christus einzutreten. Darum will ich euch immer daran erinnern, auch wenn ihr es schon wisst und in der Wahrheit gefestigt seid, die jetzt gegenwärtig ist. Ich halte es nämlich für richtig, euch daran zu erinnern, solange ich noch in diesem Zelt lebe, und euch dadurch wach zu halten; denn ich weiß, dass mein Zelt bald abgebrochen wird, wie mir auch unser Herr Jesus Christus offenbart hat. Ich will aber dafür sorgen, dass ihr euch auch nach meinem Tod jederzeit daran erinnern könnt. Denn wir sind nicht klug ausgedachten Geschichten gefolgt, als wir

τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ᾿ἐπόπται γενηθέντες τῆς Ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης Αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα· καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν Αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

euch die machtvolle Ankunft unseres Herrn Jesus Christus kundtaten, sondern wir waren Augenzeugen seiner Macht und Größe. Denn er hat von Gott, dem Vater, Ehre und Herrlichkeit empfangen, als eine Stimme von erhabener Herrlichkeit an ihn erging: Das ist mein geliebter Sohn, an dem ich Wohlgefallen gefunden habe. Diese Stimme, die vom Himmel kam, haben wir gehört, als wir mit ihm auf dem heiligen Berg waren. Dadurch ist das Wort der Propheten für uns noch sicherer geworden und ihr tut gut daran, es zu beachten, wie ein Licht, das an einem finsteren Ort scheint, bis der Tag anbricht und der Morgenstern aufgeht in eurem Herzen.

## Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (ιζ᾿:1-9)

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾿ ἰδίαν· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον Αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας μετ᾿αὐτοῦ συλλαλοῦντες. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, Σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· Αὐτοῦ ἀκούετε· καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν καὶ εἶπεν· ἐγέρθητε καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰμὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

## Aus dem Evangelium nach Matthäus (17,1-9)

In jener Zeit nahm Jesus Petrus, Jakobus und dessen Bruder Johannes beiseite und führte sie auf einen hohen Berg. Und er wurde vor ihnen verwandelt; sein Gesicht leuchtete wie die Sonne und seine Kleider wurden weiß wie das Licht. Und siehe, es erschienen ihnen Mose und Elija und redeten mit Jesus. Und Petrus antwortete und sagte zu Jesus: Herr, es ist gut, dass wir hier sind. Wenn du willst, werde ich hier drei Hütten bauen, eine für dich, eine für Mose und eine für Elija. Noch während er redete, siehe, eine leuchtende Wolke überschattete sie und siehe, eine Stimme erscholl aus der Wolke: Dieser ist mein geliebter Sohn, an dem ich Wohlgefallen gefunden habe; auf ihn sollt ihr hören. Als die Jünger das hörten, warfen sie sich mit dem Gesicht zu Boden und fürchteten sich sehr. Da trat Jesus zu ihnen, fasste sie an und sagte: Steht auf und fürchtet euch nicht! Und als sie aufblickten, sahen sie niemanden außer Jesus allein. Während sie den Berg hinabstiegen, gebot ihnen Jesus: Erzählt niemandem von dem, was ihr gesehen habt, bis der Menschensohn von den Toten auferweckt ist!

**Ἡ Μητρόπολις Αὐστρίας εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της**
**Die Metropolis von Austria dankt für Ihre Unterstützung**
**Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23 06.1967**
**Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW**